muſicam facere, non difficile eſt reſpondere, ſi conſideremus, quouſque illi opera danda ſit ab his, qui ad virtutem ciuilem erudiuntur, & quæ melodiæ, quíve rhythmi ſint addiſcendi, & præterea quibus inſtrumentis percipiatur. nam in eo quidem plurimum refert, conſiſtitque in his obiectionibus ſolutio. nihil enim vetat, modos quoſdam muſicæ illud, quod aiunt, efficere. Clarum eſt igitur oportere diſciplinam eius neque impedimentum afferre cęteris operationibus, neque corpus efficere inutile ad bellicas ciuiléſque exercitationes: ad vſus quidem iam, ac diſciplinas verò poſtea. Erit autem hoc ſi neque in illis laborabunt quæ ad certa artificia pertinent, neque circa admirabilia quædam & ſuperflua, quæ in certamina prius, & de certaminibus in doctrinam venere: ſed eouſque, vt gaudere valeant probabilibus melodiis & rhythmis, & non communi ſenſu muſicæ ſolùm, vt animalia quædam, & turba ſeniorum ac puerorum. Patet etiam ex his, quibus inſtrumentis ſit vtendum. neque enim tibiæ ſunt in diſciplina recipiendæ, nec aliud artificioſum inſtrumentum, vt cithara, & ſi quid aliud tale: ſed quæcunque faciunt auditores bonos, vel muſicæ diſciplinæ, vel alterius. Inſuper tibia non eſt morale, ſed potius ſuſcitatiuum & concitatiuum. itaque ad huiuſmodi tempora eſt vtendum illa, in quibus ſpectacula magis purificationem patiuntur, quàm diſciplinam. Adiungamus autem & illud, quòd contrarium diſciplinæ efficit, impediens rationem, vti tibiarum ſonus. Quapropter bene reprobauerunt illarum vſum antiqui, licet prius vſi fuiſſent. Studioſiores enim facti propter diuitias, & animoſiores ad virtutem, poſt victoriam contra Medos habitam, ac ex rebus geſtis magnum de ſe opinantes, diſciplinam omnium arripuerunt, non iudicantes, ſed experientes. Quapropter tibiarum quoque vſus tunc receptus eſt. nam & apud Lacedæmonios quidam qui ludos exhibebat, ipſemet tibiis modos fecit. & Athenis eouſque in conſuetudinem venit, vt ferè ingenui omnes addiſcerent. quod patet ex tabula à Thraſippo poſita, cùm ludos pro tribu ſua dedit. Poſtea verò in deſuetudinem abiit, & improbari cœpta eſt, cùm iam melius per experientiam iudicare poſſent, quid ad virtutem per-

A μουσικῆς βαναύσους, οὐ χαλεπὸν λῦσαι, σκεψαμένοις μέχρι τε πόσου τῶν ἔργων κοινωνητέον τοῖς πρὸς ἀρετὴν παιδευομένοις πολιτικήν, καὶ ποίων μελῶν, καὶ ποίων ῥυθμῶν κοινωνητέον· ἔτι δὲ ἐν ποίοις ὀργάνοις τὴν μάθησιν ποιητέον· καὶ γὰρ τοῦτο διαφέρει εἰκός. ἐν τούτοις γὰρ ἡ λύσις ἐστὶ τῆς ἐπιτιμήσεως. οὐθὲν γὰρ κωλύει τρόπους τινὰς τῆς μουσικῆς ἀπεργάζεσθαι τὸ λεχθέν. φανερὸν τοίνυν, ὅτι
B δεῖ τὴν μάθησιν αὐτῆς, μήτε ἐμποδίζειν πρὸς τὰς ὕστερον πράξεις, μήτε τὸ σῶμα ποιεῖν βάναυσον καὶ ἄχρηστον πρὸς τὰς πολεμικὰς καὶ πολιτικὰς ἀσκήσεις. πρὸς μὲν τὰς χρήσεις ἤδη, πρὸς δὲ τὰς μαθήσεις ὕστερον· συμβαίνοι δ' ἂν περὶ τὴν μάθησιν, εἰ μήτε τὰ πρὸς τοὺς ἀγῶνας τοὺς τεχνικοὺς συντείνοντα διαπονεῖν, μήτε τὰ θαυμάσια καὶ περιττὰ
C τῶν ἔργων, ἃ νῦν ἐλήλυθεν εἰς τοὺς ἀγῶνας· ἐκ δὲ τῶν ἀγώνων, εἰς τὴν παιδείαν. ἀλλὰ καὶ τὰ τοιαῦτα μέχρι περ ἂν δύνωνται χαίρειν τοῖς καλοῖς μέλεσι καὶ ῥυθμοῖς· καὶ μὴ μόνον τῷ κοινῷ τῆς μουσικῆς, ὥσπερ καὶ τῶν ἄλλων ἔνια ζῴων· ἔτι δὲ καὶ πλῆθος ἀνδραπόδων καὶ παιδίων. δῆλον δὲ ἐκ τούτων καὶ ποίοις ὀργάνοις χρηστέον. οὔτε γὰρ αὐλοὺς εἰς παιδείαν ἀκτέον, οὔτ' ἄλλο τεχνικὸν ὄργανον,
D οἷον κιθάραν, κἂν εἴ τι τοιοῦτον ἕτερόν ἐστιν, ἀλλ' ὅσα ποιήσει αὐτῶν ἀκροατὰς ἀγαθούς, ἢ τῆς μουσικῆς παιδείας, ἢ τῆς ἄλλης. ἔτι δὲ οὐκ ἔστιν ὁ αὐλὸς ἠθικόν, ἀλλὰ μᾶλλον ὀργιαστικόν. ὥστε πρὸς τοὺς τοιούτους αὐτῷ καιροὺς χρηστέον, ἐν οἷς ἡ θεωρία κάθαρσιν μᾶλλον δύναται, ἢ μάθησιν. προσθῶμεν δὲ, ὅτι συμβέβηκεν ἐναντίον αὐτῷ πρὸς παιδείαν, καὶ τὸ κωλύειν τῷ λόγῳ χρῆσθαι τὴν αὔλησιν.
E διὸ καλῶς ἀπεδοκίμασαν αὐτοῦ οἱ πρότερον τὴν χρῆσιν ἐκ τῶν νέων, καὶ τῶν ἐλευθέρων· καίπερ χρησάμενοι τὸ πρῶτον αὐτῷ. σχολαστικώτεροι γὰρ γιγνόμενοι διὰ τὰς εὐπορίας, καὶ μεγαλοψυχότεροι πρὸς ἀρετήν· ἔτι τε πρότερον καὶ μετὰ τὰ Μηδικὰ φρονηματισθέντες ἐκ τῶν ἔργων, πάσης ἥπτοντο μαθήσεως, οὐδὲν διακρίνοντες, ἀλλ' ἐπιζητοῦντες. διὸ καὶ
F τὴν αὐλητικὴν ἤγαγον πρὸς τὰς μαθήσεις. καὶ γὰρ ἐν Λακεδαίμονι τις χορηγὸς αὐτὸς ηὔλησε τῷ χορῷ· καὶ περὶ Ἀθήνας οὕτως ἐπεχωρίασεν, ὥστε σχεδὸν οἱ πολλοὶ τῶν ἐλευθέρων μετεῖχον αὐτῆς. δῆλον δὲ ἐκ τοῦ πίνακος, ὃν ἀνέθηκε Θράσιππος Ἐκφαντίδῃ χορηγήσας. ὕστερον δ' ἀπεδοκιμάσθη διὰ τῆς πείρας αὐτῆς, βέλτιον δυναμένων κρίνειν τὸ πρὸς ἀρετήν, καὶ τὸ μὴ